www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΕΙΑ
# ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΕΡΜΟΓΕΝΟΥΣ
# ΕΠΙΣΚΟΠΟΥ ΣΑΜΟΥ



ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΛΕΜΕΣΟΥ
2004

www.tezaurliturgic.ro




# ΟΚΤΩΒΡΙΟΥ Ε΄

## **Μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος**

## ΕΡΜΟΓΕΝΟΥΣ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄, καὶ ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα.

Τοῦ Ἀβραὰμ ἀνεδείχθης ζηλωτής, Ὅσιε, ἐξελθὼν σῆς πατρίδος, θείῳ ἔρωτι, Πάτερ, διδάσκων καὶ φωτίζων τοὺς ἀσεβεῖς, προσκυνεῖν ἐν Τριάδι ἕνα Θεόν· ὃν καθικέτευε, ἔνδοξε, ἐκτενῶς, διασώζειν τοὺς τιμῶντάς σε.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις, πάτερ Ἑρμόγενες, ἀποπνίξας τὰ στίφη, τῶν δαιμόνων σὺν τούτοις, καὶ τὰ τῶν δυσσεβούντων αἱρετικῶν, τοὺς εὐσεβεῖς δὲ ἐφώτισας, Τριάδα σέβειν Ἁγίαν, ἣν καὶ ἡμᾶς, καθικέτευε λατρεύειν πιστῶς.

Σορὸς ἡ θεία σου, Πάτερ, βρύει ἰάματα, πᾶσι τοῖς προσιοῦσιν, εὐλαβῶς καὶ προθύμως, ἰῶνται καὶ γὰρ πάντων τῶν χαλεπῶν, νοσημάτων ἑκάστοτε, ὡς ἀδαπάνητον ἔχουσα τὴν πηγήν, τῶν ἰάσεων, θεόπνευστε.

Ἕτερα Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ ἱερὲ Ἑρμόγενες, ἐκ τῆς Ἑῴας ὁρμῶν, ὡς ἀστὴρ διαυγέστατος, νῦν φωτίζεις ἅπασαν, τὴν ὑφήλιον, Ἅγιε, Σάμον καὶ Κύπρον, ταῖς τῶν ἀκτίνων.αὐγαῖς· τὴν μὲν τῷ κάλλει, τοῦ μαρτυρίου σου, τὴν δὲ τῷ σκήνει τῷ πολυάθλῳ σου· ὑπὲρ ὧν πρέσβευε, φρουρεῖσθαι καὶ σῴζεσθαι, θεόφρον Ὅσιε.

Ἱεραρχῶν τὸ ἐκσφράγισμα, καὶ τῶν Πατέρων φωστήρ, καὶ Μαρτύρων τὸ καύχημα, Προφητῶν ἀγλάϊσμα, καὶ Ὁσίων τὸ στήριγμα, καὶ τῶν νοσούντων, ὁ ἰατρὸς καὶ λιμήν, αἱρέσεών τε, ἡ μάστιξ καὶ ἐλατήρ· ᾧ τῶν ἀγώνων σου, οἷς κατετραυμάτισας, τὸν ἰσχυρόν· δι' ὧν καθικέτευε, ἐλεηθῆναι ἡμᾶς.

Πάτερ Πατέρων Ἑρμόγενες, προκαθαρθεὶς τὴν ψυχήν, καὶ τὸν νοῦν καὶ διάνοιαν, ἐν μελέταις πάντοτε, προσευχαῖς καὶ ἀσκήσεσι, καθυποτάσσων, χεῖρον τῷ κρείττονι, ἁγνῶς ποιμαίνων, ποίμνην τὴν σήν, ἀγαθέ· σοῦ ταῖς ἐντεύξεσι,

www.tezaurliturgic.ro


καὶ ἡμεῖς ῥυσθείημεν, τῶν δυσχερῶν, οἷς νῦν κατεχόμεθα, τρισμάκαρ Ὅσιε.

Δόξα... Ἦχος πλ. β΄.

Ἀσματικὴν χορείαν κροτήσωμεν σήμερον, ὦ φιλέορτοι, ἐπὶ τῇ μνήμῃ τοῦ ἱερομάρτυρος Ἑρμογένους· οὗτος γὰρ τῆς Τριάδος δειχθεὶς ὑπέρμαχος, ἐναντίον βασιλέων, ἐκήρυττεν αὐτήν, καὶ ἐν σταδίῳ ἀνδρείως, τὸν ἀόρατον ἐχθρόν, ἐν τῷ σεπτῷ αὐτοῦ αἵματι ἀπέπνιξε· διὸ καὶ διπλοῦς στεφάνους παρὰ Θεοῦ ἐκομίσατο, ὡς κῆρυξ καὶ μάρτυς Χριστοῦ. Πρὸς αὐτὸν οὖν βοήσωμεν· σκεῦος ἐκλεκτὸν ἅγιον τῷ Κυρίῳ, ὡς παρρησίαν ἔχων πρὸς Θεόν, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων, τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε΄ 15 - ς΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐ-

www.tezaurliturgic.ro



πλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοί, ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν.

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Ἀνυμνήσωμεν οἱ πιστοί, Ἑρμογένην τὸν ἱερομάρτυρα, τὸν Σάμου τῆς νήσου πρόεδρον, καὶ τῶν Κυπρίων ἀρωγόν, καὶ ὑπέρμαχον· οὗτος γὰρ τὴν θάλασσαν διαπεράσας ἀβλαβῶς, τῇ σεπτῇ αὐτοῦ λάρνακι, ὥς ποτε Βαρνάβας ὁ ἀπόστολος, αὔραις θείαις κινούμενος, ἐπεδήμησε, Κύπρῳ τῇ νήσῳ ἐν πόλει Ἐπισκοπῇ, ᾗ καὶ ναὸν κάλλιστον οἱ πιστοὶ αὐτῷ ἐκ βάθρων δειμάμενοι, κατέθεντο τὴν αὐτοῦ σορόν, ἐξ ἧς βρύει ἰαμάτων ἀκενώτους πλημμύρας· ταῖς αὐτοῦ ἰκεσίαις, Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Τοῦ ἱεράρχου Ἑρμογένους ἡ μνήμη, ὡς μύρον ἐκκενούμενον, σήμερον εὐωδιάζει ἡμᾶς· ἐκ Φοίνικος γὰρ τῆς τῶν Μυρέων κώμης, ὡς φοῖνιξ ἐξήνθησε, καὶ καρποὺς ἀειθαλεῖς, τῇ τῶν Σαμίων Ἐκκλησίᾳ προσήνεγκε, καὶ γλυκασμὸς τοῖς πιστοῖς τῶν Κυπρίων ἐχρημάτισε, οἳ καὶ δόξαν τῷ Θεῷ ἀναπέμπουσι, τῷ ἐνδοξαζομένῳ ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἦχος ὁ αὐτός.

Ἱερομάρτυς Ἑρμόγενες, ἡ σορὸς τῶν λειψάνων σου, ποταμοὺς ἰαμάτων καθ' ἑκάστην ἀναβλύζουσα, πᾶσαν νόσον ἐξ ἀνθρώπων φυγαδεύει. Ὅθεν κομπάζει ἡ Κύπρος ἐπὶ σοί, καὶ μεγαλύνεται, τοιούτου ἀκενώτου θησαυροῦ ὑπερπλουτοῦσα, ἣν καὶ φυλάττειν σαῖς πρεσβείαις, ἐξ ἀναγκῶν, καὶ κινδύνων δεόμεθα.

Ἦχος δ΄.

Αἶνος τῷ Θεῷ, ἐκ χοϊκῶν χειλέων ἀναπέμπεται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, ἱερομάρτυς Ἑρμόγενες. Ὀφθεὶς γὰρ σὺ τοῦ λόγου τῆς πίστεως, κῆρυξ διαπρύσιος, ἠγωνίσω γενναίως καὶ ἐν τῷ σκάμματι, τοῦ Σαντορνίνου τὰς ἀπειλὰς ἐξεμυκτήρισας· ὅθεν καὶ νῦν παριστάμενος τῇ Ἁγίᾳ Τριάδι, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν λαμπρῶς ἑορταζόντων, τὴν ἱεράν σου καὶ πάντιμον ἄθλησιν.

Δόξα... Ἦχος δ΄.

Φερωνύμως τὴν κλῆσιν, εἰληφὼς ἐκ Θεοῦ, ἱεράρχα Ἑρμόγενες, ἀξίως ταύτῃ διέπρεψας· Σάμος γὰρ ἡ νῆσος ἔρεισμα θεῖον εὑροῦσά σε, πεπλούτηκε θησαυροὺς εὐσεβείας, ὑπὲρ ἧς καὶ τοὺς μαρτυρικοὺς ἄθλους, οὐκ ἀπηξίωσας ἀπολαβεῖν· καὶ νῦν δὲ κυμάτων ἕρμαιον, ἡ περίφημος πάλιν Κύπρος ἔσχε σε, πλουτεῖ καὶ γὰρ αὕτη τῆς σοροῦ τῶν λειψάνων σου· διὸ καὶ ἑορτάζει φαιδρῶς τὴν πανένδοξον μνήμην σου, αἰτουμένη σώζειν αὐτὴν ἐκ παντοίων περιστάσεων.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἱερωσύνης κανών, τῆς ἐγκρατείας ἀληθὲς καταγώγιον, ἡ στάθμη τῆς σωφροσύνης, τῶν ἀρετῶν θησαυρός, ἐλεημοσύνης πηγὴ βρύουσα, ὁ θείου ἑρμαίου, ἐπιφερόμενος ὄνομα, ὁ καὶ στηρίζων, τοὺς πιστοὺς πρὸς εὐσέβειαν, ἐπακούων τε, ἀσθενῶν ταῖς δεήσεσι. Λύχνος ὁ διαυγέστατος, ἑτοίμη ἀντίληψις, πᾶσι τοῖς πόθῳ τιμῶσι, τὴν πανᾳοίδιμον μνήμην σου, Χριστὸν καταπέμψαι, ὦ Ἑρμόγενες, δυσώπει, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro


Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Λάμψας ἐκ τῆς Ἑῴας ἀστήρ, καταφωτίζεις τὴν ὑφήλιον ἅπασαν, Κύπρον δὲ μᾶλλον καὶ Σάμον, ἧς καὶ προέστης, Σοφέ, ἐν ᾗ καὶ τὸ αἷμά σου ἐξέχεας, ἀθλῶν τῆς Τριάδος, ὑπὲρ ἧς καὶ ἀπέθανες, διασκεδάζων, δυσσεβεῖς τῷ σῷ σκάμματι, καὶ εὐσέβειαν, στερεῶν, ὦ Ἑρμόγενες. Ὅθεν νῦν οἱ ἐμμένοντες, ταῖς σαῖς εἰσηγήσεσιν, ἁμαρτημάτων λυτροῦνται, καὶ τῶν δεινῶν ἀπαλλάττονται, ἀκέστωρ τυγχάνεις, τῶν ψυχῶν καὶ τῶν σωμάτων, ἀεί, πανεύφημε.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις ὁ τῶν Κυπρίων φρουρός, Ἐπισκοπῆς τῆς πολιτείας ὁ ἔφορος, εἰς ἥνπερ καὶ κατεπέμφθης, ὑπὸ Θεοῦ ἐναργῶς, τοῦ φυλάττειν ταύτην ἀπαράτρωτον, λιμοῦ καὶ λοιμοῦ δέ, καὶ πάσης ἄλλης κακώσεως, ὡς ὢν τοιοῦτος, φύλαξ ἄγρυπνος, Ὅσιε, ἀντιλήπτωρ τε, καὶ ταχὺς εἰς ἐπίσκεψιν. Ὅθεν οἱ σοὶ προστρέχοντες, καὶ σὲ προσκαλούμενοι, νόσοις παντοίαις ἰῶνται, χωλοί, κυλλοὶ καὶ πυρέττοντες, παρέχεις γὰρ πᾶσι, τὴν ὑγείαν τε καὶ ῥῶσιν, καὶ χάριν πάντοτε.

Δόξα... Ἦχος β΄.

Τὸν ἱεράρχην τοῦ Χριστοῦ Ἑρμογένην, ἅπαντες εὐφημήσωμεν, τὸ καύχημα ὄντως τῶν Μυρέων, καὶ τοῦ Φοίνικος τὸ βλάστημα, τῶν Σαμίων τὸ κλέος, καὶ τῶν Κυπρίων τὸν ἀκοίμητον πρεσβευτήν, πρὸς ὃν προθύμως ἐν ἀγαλλιάσει ψυχῆς εἴπωμεν· χαίροις, Ἑρμόγενες, ποιμένων ἐγκαλλώπισμα· χαίροις, ἡ πηγὴ τῶν θαυμάτων, καὶ ἰαμάτων ταμεῖον ἄσυλον· ὡς ἔχων παρρησίαν πρὸς Κύριον, δώρησαι τοῖς ἐκ πόθου ἐκτελοῦσι, τὴν πανέορτον μνήμην σου, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων θλίψεων.

Καὶ νῦν... Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπολυτίκιον.

Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Φοίνικος τὸ κλέος, καὶ Σαμίων τὸ στήριγμα, φύλαξ καὶ φρουρὸς τῶν Κυπρίων, Ἑρμόγενες, ἀνεδείχθης· τὴν θάλασσαν διῆλθες ὥσπερ ζῶν, καὶ ταύτης τρικυμίας χαλινῶν, θαυμασίως λάρνακά σου, Ἐπισκοπῇ τῇ πόλει κατεστήριξας. Δόξα τῷ οὕτως εὐδοκήσαντι Θεῷ· δόξα τῷ σὲ ὁδηγήσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε, τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄.

Τὸν τάφον σου, Σωτήρ.

Ἡ μνήμη σου, Σοφέ, συγκαλεῖ πᾶσαν κτίσιν, μεθέξειν τῶν λαμπρῶν, καὶ πολλῶν ἰαμάτων, ὧνπερ νῦν ἀπολαύοντες, χάριτας ἀναπέμπομεν, τῷ δοξάσαντι, σὲ Βασιλεῖ καὶ Σωτῆρι· εὐφημοῦμεν δέ, σὲ πρεσβευτὴν ἡμῶν ὄντα, παμμάκαρ πρὸς Κύριον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότη-

www.tezaurliturgic.ro



τα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Ἑορτὴ χαρμόσυνος, τοῦ ἱεράρχου, Ἑρμογένους σήμερον, πᾶσιν ἐπέλαμψε πιστοῖς, συμφώνως νῦν ἀνακράζουσι· κινδύνων σῶζε, τὴν πόλιν σου, Ἅγιε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις, τῶν πεποιθότων ἐπὶ σέ, ἐκ τῶν κινδύνων με λύτρωσαι· σὺ γὰρ ὑπάρχεις, ἡ πάντων βοήθεια.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Σορὸς ἡ θεία σου, πάτερ Ἑρμόγενες, βρύει ἰάματα, καθάπερ νάματα, σωτηριώδη τοῖς πιστοῖς, ἐξ ὧν πάντες κορέννυνται, δόξαν ἀναπέμποντες, Θεῷ τῷ θαυμαστώσαντι, καὶ καταπλουτίσαντι, θαυμάσια, θεόσοφε· δι' ὧν Τριὰς ἡ θεία ὑμνεῖται, καὶ μεγαλύνεται, Ἅγιε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι, Θεοτόκε· ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τὶ δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διό, ὡς προσετάγην, βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί.

Τὸ Α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

(Κεφ. ιβ΄ 1-8).

(Ζήτει τῇ Παρασκευῇ τῆς Δ΄ ἑβδομάδος Ματθαίου).

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. Οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ· ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ. Ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυΐδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ μόνοις τοῖς ἱερεῦσι; Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; Λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. Εἰ δὲ ἐγνώκειτε τί ἐστιν ἔλεον θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. Κύριος γάρ ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου πρεσβείαις...

Στίχ. Ἐλέησόν με, ὁ Θεός.

www.tezaurliturgic.ro


Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, Ὅσιε Πάτερ, καὶ γέγονας Ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ θεότητι.

Οἱ Κανόνες. Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄, καὶ οἱ τοῦ Ἱερομάρτυρος ἀνὰ δ΄.

Ὁ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α΄.

Ἦχος πλ. δ΄.

Ὁ Εἱρμός.

» Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰ-
» γυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλί-
» της ἀνεβόα· Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσω-
» μεν.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὁ Κανὼν τοῦ Ἱερομάρτυρος.

Ὠδὴ α΄.

Ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Φωτὶ τῆς Τριάδος καταυγασθείς, ἐκ βρέφους, θεόφρον, Ἱεράρχα, τῷ ζωηρῷ, τῆς Πίστεως γάλακτι ἐτράφης, ταῖς ἀρεταῖς καταυγαζόμενος.

Συνέσεις καὶ χάριτι κοσμηθείς, νηστείαις καὶ πόνοις, ἐχαλίνωσας τῆς σαρκός, Θεόφρον παμμάκαρ, τὰς ὀρέξεις, καὶ τὴν ψυχὴν ἀρεταῖς κατεκόσμησας.

Ἀστράψας τῷ βίῳ τῷ φαεινῷ, ὡς ἥλιος πᾶσαν, Ἱεράρχα, τὴν τοῦ Χριστοῦ, ἐφαίδρυνας, Πάτερ, Ἐκκλησίαν, ἐν ταῖς ἀκτῖσι τῶν θαυμάτων σου.

Θεοτοκίον.

Ἰδοὺ αἱ προῤῥήσεις τῶν Προφητῶν, ἐπὶ σοὶ τὸ πέρας, ἀπειλήφασιν ἀληθῶς· Λόγον γὰρ ἀσπόρως συλλαβοῦσα, Θεογεννῆτορ ἁγνή, ἀπεκύησας.

Ἕτερος Κανὼν τοῦ Ἱερομάρτυρος.

Ὠδὴ α΄

Ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Τῷ Φωτοδότῃ παρεστὼς ὁλόφωτος, φωτὶ τῆς γνώσεως, τὸ ζοφερὸν ὄμμα,τῆς ψυχῆς μου φώτισον, καὶ τὴν ἀχλὺν ἀπέλασον τῶν παθῶν, σαῖς πρεσβείαις· ὡς Ἱεράρχης θεόληπτος, ἔχων παῤῥησίαν, Ἑρμόγενες.

Ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς καθήμενος, ὁ συναΐδιος, καὶ συμφυὴς Λόγος, τῷ τεκόντι κήρυκα, τῆς ἑαυτοῦ γεννήσεως, προχειρίζεται μόνος, ὡς Ἀποστόλων ὁμότροπον, σὲ νῦν, θεοφόρε Ἑρμόγενες.

Ὑπὸ τῆς θείας φωτισθεὶς ἐλλάμψεως, τὸν ἐξ ἀνάρχου Πατρός, μονογενῆ Λόγον, ἄκτιστον αἰώνιον, θεολογήσας, Ὅσιε, τοὺς Ἀρείου

www.tezaurliturgic.ro



συμμάχους, ὁμόφρονάς τε συνέχεας, θείᾳ παντευχίᾳ φραξάμενος.

Θεοτοκίον.

Σεσαρκωμένον, Παναγία, τέτοκας, τὸν πρὶν ἀσώματον, θεαρχικὸν Λόγον· μόνη ἐξ αἰῶνος γάρ, ἀκτῖσι καθαρότητος, παρθενίας τε κάλλει, καὶ παναμώμοις χαρίσμασι, πέφηνας ἀξία, Πανάμωμε.

Τῆς Θεοτόκου.

Ὠδὴ γ΄

Ὁ Εἱρμός.

» Οὐρανίας ἁψῖδος, ὀροφουργέ, Κύριε, καὶ
» τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέω-
» σον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης,
» τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σέ, Θεογεννῆτορ Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἱερομάρτυρος.

Σὺ εἶ τὸ στερέωμα.

Ἡ ἀξιοθαύμαστος, καὶ παναοίδιμος μνήμη σου, χαρμονικῶς, τὰ τῶν Ὀρθοδόξων, κατευφραίνει συστήματα.

Πόνοις προσωμίλησας, καὶ πειρασμοῖς πολλοῖς, Ὅσιε, διὰ Χριστόν· ὅθεν καὶ τῆς τούτου, βασιλείας τετύχηκας.

Οἶκος θείου Πνεύματος, καὶ προσευχῆς εἰκὼν γέγονας, Ἱεραρχῶν, καύχημα καὶ κλέος, τῶν Μαρτύρων, Ἑρμόγενες.

Θεοτοκίον.

Ἔχων σε βοήθειαν, οὐκ αἰσχυνθήσομαι, Πάναγνε, Μήτηρ Θεοῦ, πρέσβυν καὶ προστάτιν, τῶν ἐχθρῶν μου ῥυσθήσομαι.

Ἄλλος.

Οὐρανίας ἁψῖδος.

Τὰ σωτήρια, Πάτερ, καὶ εὐσεβῆ δόγματα, τῆς Ὀρθοδοξίας φυλάττων, ἀδιαλώβητα, ποίμνην ἐξέθρεψας, ἐπὶ νομὰς ζωηφόρους, καὶ πρὸς ἐπουράνιον, μάνδραν εἰσήλασας.

Ἀνελθὼν ἐν τῷ ὕψει, τῶν ἀρετῶν, Ὅσιε, χρῖσμα ἱερὸν ὑπεδέξω, καὶ τὸν Πανύψιστον, πανσόφως ᾔνεσας, ὑψηλοτάτῃ καθέδρᾳ, λειτουργήσας χάριτι, τούτῳ ὡς ἄγγελος.

Πειρασμοὺς ὑπομείνας, διὰ Χριστόν, Ὅσιε, τῆς ἀθανασίας μετέσχες, καὶ τῆς θεώσεως· μύρον εὐῶδες δέ, διηνεκῶς ἀναβλύζων, ἁγιάζεις πίστει σοι, τοὺς προσπελάζοντας.

Θεοτοκίον.

Ἡ λαβὶς ἡ τοῦ θείου, καὶ φωταυγοῦς ἄνθρακος, βάτος ἡ πυρὶ μὴ φλεχθεῖσα, τῷ τῆς θεότητος, τὰ φρυγανώδη μου, πάντα κατάφλεξον πάθη, καὶ πυρὸς ἐξάρπασον, διαιωνίζοντος.

Κάθισμα.

Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Τῆς πίστεως δόγματα, κρατύνων, Ὅσιε, Πατρὶ συναΐδιον, καὶ ὁμοούσιον, τὸν Λόγον ἐκήρυξας· ὅθεν καὶ ὀρθοδόξως, τὴν σὴν ποίμνην ποιμάνας, ᾔσχυνας τοῦ Ἀρείου, τὴν κακόφρονα

www.tezaurliturgic.ro


γνώμην· διὸ νῦν μεταβὰς πρὸς Χριστόν, πρέσβευε ὑπὲρ πάντων ἡμῶν.

Δόξα... Ἦχος α΄.

Τόν τάφον σου, Σωτήρ.

Ὡς ἥλιος ἡμῖν, ἡ ἁγία σου μνήμη, ἀνέτειλε, Σοφέ, καὶ φωτίζει τὴν κτίσιν, Ἑρμόγενες μακάριε, καὶ πληροῖ ταύτην θαύμασιν· ἥνπερ σήμερον, ἐπιτελοῦντες βοῶμεν· Καθικέτευε, ὑπὲρ ἡμῶν, Ἱεράρχα, Χριστὸν τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.

Εὐφραίνεται πιστῶν, ἡ πληθύς, Θεοτόκε, τὸ ὄνομα τὸ σόν, καθ' ἑκάστην βοῶσα, καὶ πόθῳ τὰς ὑψώσεις σου, μεγαλύνουσα πάντοτε· σὺ γὰρ καύχημα, καὶ βοηθὸς καὶ προστάτις, ἀκαταίσχυντος, πάντων ὑπάρχεις, Παρθένε, τῶν πίστει τιμώντων σε.

Τῆς Θεοτόκου.

Ὠδὴ δ΄.

Ὁ Εἱρμός.

» Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ
» μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ
» ἐδόξασά σου τὴν Θεότητα.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν πταισμάτων, Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν Εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀῤῥωστίας κατακειμένῳ μοι, ὡς φιλάγαθος βοήθησον, Θεοτόκε, μόνη ἀειπάρθενε.

Τοῦ Ἱερομάρτυρος.

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Ἡ τοῦ Πνεύματος ἔλλαμψις, Πάτερ, ἐπὶ σοὶ πλουσίως σκηνώσασα, φωτοφόρον στῦλον ἔδειξε, δᾳδουχοῦντα κόσμον θείοις δόγμασιν.

Τῇ γαλήνῃ τῶν λόγων σου, τὸν εἰδωλικὸν χειμῶνα ἠμαύρωσας, καὶ τροπαίοις ταπεινώσεως, ἀσεβείας θράσος κατεμάρανας.

Ἀκηλίδωτον ἔσοπτρον, Πάτερ, τῆς Τριάδος ὤφθης, Ἑρμόγενες· κατοπτεύειν γὰρ ἠγάπησας, καθαρῶς τὴν γνῶσιν τοῦ Θεοῦ ἡμῶν.

Θεοτοκίον.

Ὡς φρικτὸν καὶ παράδοξον, τῆς ἁγνῆς λοχείας σου τὸ Μυστήριον! ὑπὲρ φύσιν γάρ, Πανάμωμε, τὸν Δημιουργόν σου ἀπεκύησας.

Ἄλλος.

Σύ μου ἰσχύς, Κύριε.

Ἐπιφανῶς, Ἱερομύστα, διέπρεψας, τὸν τῆς Σάμου, θρόνον κληρωσάμενος, κληθεὶς ἐν τούτῳ παρὰ Χριστοῦ, εἶτα τῶν Κουριέων, καταλαβὼν τὴν Μητρόπολιν, ἐν ᾗ τὸ θεῖον σκῆνος, ἐναπέθου, τρισμάκαρ, ἀγλαΐζων αὐτὴν θείοις θαύμασιν.

Παντοδαπαῖς, κεκοσμημένος χαρίσμασι, Μοναρχίας, κῆρυξ ἐχρημάτισας, τῆς ἐν Πατρὶ καὶ μονογενεῖ, Λόγῳ νοουμένης, καὶ θείῳ Πνεύματι, πάνσοφε· Μονάδα γὰρ οὐσίας ἐν Τριάδι προσώπων, ὑφεστώτων ἐδίδαξας, Ὅσιε.

Ἀνακραθείς, κάλλει τῷ πρώτῳ, Θεσπέσιε, καὶ τῇ αἴγλῃ, τούτου συμμορφούμενος, καὶ πυρσωθείς, θείαις ἀστραπαῖς, κατὰ μετουσίαν τὴν Ἐκκλησίαν ἐφαίδρυνας, γεγονὼς φῶς, τρισμάκαρ, φωτισμὸν εὐσεβείας, ἀναφαίνων τοῖς πίστει προστρέχουσιν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἵνα μορφήν, τὴν κεχωσμένην τοῖς πάθεσιν, ἐκζητήσῃς πλούτου ἀγαθότητι, παρθενικήν, ᾤκησας νηδύν, ἐξ ἧς ἡ σοφία Θεοῦ ναὸν ᾠκοδόμησας· δι' οὗ συνανεστράφης, τοῖς ἀνθρώποις, Οἰκτίρμον, καὶ διέσωσας κόσμου τὰ πέρατα.

Τῆς Θεοτόκου.

Ὠδὴ ε΄.

Ὁ Εἰρμός.

» Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύ-
» ριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν
» σὴν εἰρήνην, παράσχου ἡμῖν, φιλάνθρωπε.

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων, Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν, τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι, Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῇς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, ταῖς πρεσβείαις σου παράσχου μοι.

Τοῦ Ἱερομάρτυρος.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου.

Ἔφερες σαρκός, τὰς αἰκίσεις καρτερώτατα, κρεμασθεὶς ξύλῳ, Ἑρμόγενες, καρτερῶς τούτῳ, τῷ Δεσπότῃ ἐλειτούργησας.

Ὕμνεις τὸν Χριστόν, τὰς πλευράς, Μάρτυς, ξεόμενος, καὶ τὴν δορὰν προσαφαιρούμενος, ἀνδρειοτάτῃ, διανοίᾳ, Ἱερώτατε.

Ψεύδους τὴν ἀχλύν, ἀληθείᾳ, Μάρτυς, ἤλεγξας, ἐν τῇ σοφίᾳ τῇ τῶν λόγων σου, δείξας ἀσόφους, τοὺς τῇ πλάνῃ ῥητορεύοντας.

Θεοτοκίον.

Ὑπὲρ τῶν εἰς σέ, τὰς ἐλπίδας πάσας, Δέσποινα, κεκτημένων, ἀπαύστως πρέσβευε, ὅπως μελλούσης, λυτρωθῶμεν κατακρίσεως.

Ἄλλος.

Ἵνα τί με ἀπώσω.

Ῥημάτων σου ὁ φθόγγος, ὥσπερ τις οὐράνιος ἦχος φερόμενος, τὰς ἀθέους φρένας, κατεβρόντησε λόγῳ τῆς χάριτος, καὶ δογμάτων θείων, μαρμαρυγαῖς ταῖς φανοτάταις, τῶν πιστῶν τὰς καρδίας ἐλάμπρυνεν.

Ὁλικαῖς προθυμίαις, τοὺς εἰδωλολάτρας σὺ καταστρεψάμενος, ὀρθοδόξῳ πίστει, Ἱεράρχα, τὸ κράτος ἐκύρωσας, ἐν Τριάδι ἕνα, Θεὸν ἡμῖν ἀνακηρύττων, παμμάκαριστε πάτερ Ἑρμόγενες.

Ὑπερθέου Τριάδος, μύστης ἐχρημάτισας παναληθέστατος, τῷ Πατρὶ τὸν Λόγον, ὁμοούσιον σέβων καὶ σύνθρονον, καὶ τὸ θεῖον Πνεῦμα, ὁμοφυὲς Πατρὶ καὶ Λόγῳ, ἐκδιδάσκων, παμμάκαρ Ἑρμόγενες.

Θεοτοκίον.

Στρατηγίαι τῶν ἄνω, Πάναγνε, δυνάμεων σὲ μακαρίζουσι, γενεαὶ δὲ πᾶσαι, τῶν ἀνθρώπων ἀξίως δοξάζουσι· διὰ σοῦ γὰρ μόνης, οἱ ἐπὶ γῆς τοῖς οὐρανίοις, συναφθέντες ὑμνοῦμεν τὸν τόκον σου.

Τῆς Θεοτόκου.

Ὠδὴ ς΄.

Ὁ Εἰρμός.

» Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ
» ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ
» ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾍδη
» προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· ἐκ φθορᾶς, ὁ
» Θεός, με ἀνάγαγε.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ

www.tezaurliturgic.ro


θανάτῳ μου φύσιν, κατασχεθεῖσαν, Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, ἐκ παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς Ἀγαθῆς· Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Τοῦ Ἱερομάρτυρος.

Ἱλάσθητί μοι, Σωτήρ.

Τερατουργῶν διὰ σοῦ, ὁ ζωοδότης Χριστὸς Θεός, ἰάσεων θησαυρόν, τὸ ὕδωρ ἀνέδειξεν, εὐχαῖς σου, Ἑρμόγενες, γλυκασμὸν θαυμάτων, τὸ πικρὸν ἀπεργασάμενος.

Θαυμάτων σου τὰς πηγάς, ἱερομάρτυς, Ἑρμόγενες, προχέεις διηνεκῶς, ὡς πηγὴ ἀέναος, τοῖς πίστει προστρέχουσι, μετὰ πόθου, μάκαρ, καὶ λαμβάνουσιν ἰάματα.

Θαυμάτων ὑπερφυῶν, ἐργάτης ὤφθης, Ἑρμόγενες· δεξάμενος ἐκ Θεοῦ, χάριν τῶν ἰάσεων, πηγὴ ἐχρημάτισας, δαψιλεύων πᾶσι, σωτηρίας θεῖα νάματα.

Θεοτοκίον.

Ταῖς σαῖς πρεσβείαις, Ἁγνή, κινδύνων καὶ περιστάσεων, ἐξάρπασόν με δεινῶν, καὶ ῥῦσαί με δέομαι· σὺ εἶ τεῖχος ἄῤῥηκτον, καὶ λιμὴν καὶ σκέπη, καὶ ἀπόρθητον ὀχύρωμα.

Ἄλλος.

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον.

Ὑψούμενος, ἐπὶ ξύλου, Παμμάκαρ, τῷ σιδήρῳ τὰς πλευρὰς κατεξάνθης, ἀνηλεῶς, καὶ τοῦ πλάνου ἐλέγχοις, τὴν πωρωθεῖσαν καρδίαν ἐσπάραξας, προστάσσοντος θύειν θεοῖς, καὶ Θεὸν ἐξαρνεῖσθαι ἀθάνατον.

Στρεβλούμενος, καὶ πεδούμενος, Μάρτυς, συνεπόδισας εἰς τέλος τὴν πλάνην· καὶ τοῦ ἐχθροῦ, τὰς ἀτάκτους πορείας, ἀπράκτους ἔδειξας σθένει τοῦ Πνεύματος· καὶ ἔδραμες πρὸς οὐρανόν, στεφηφόρος Κυρίῳ παρίστασθαι.

Ἐθέλχθης, ταῖς καλλοναῖς τοῦ Δεσπότου, καὶ αὐτῷ προσεκολλήθης κραυγάζων· Λόγε Θεοῦ, διὰ σὲ τὸν τυθέντα, ἐθελουσίως ἐγὼ σφαγιάζομαι, μιμούμενος περιφανῶς, τὰ σεπτά σου καὶ θεῖα παθήματα.

Θεοτοκίον.

Ὑπέρλαμπρος, ἀνεδείχθης καθέδρα, Βασιλέως οὐρανίου, Παρθένε· ἐν σῇ γαστρί, ἀνεπαύσατο θέλων, καὶ τὸν πολὺν ἡμῶν κόπον ἀφείλετο, καὶ ἵδρυσε τῷ Πατρικῷ, ὡς ηὐδόκησε, θρόνῳ τὸν ἄνθρωπον.

Κοντάκιον.

Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Τῶν Σαμίων καύχημα, καὶ τῶν Κυπρίων τὸ κλέος, Ἑρμογένην ἅπαντες, ἀνευφημήσωμεν ὕμνοις. Οὗτος γάρ, τὴν τῆς Τριάδος ἔλαβεν αἴγλην, καὶ ὡς ἥλιος, φωτίσας τὴν Οἰκουμένην· ὃν προθύμως ἀνυμνοῦμεν, καὶ προσκυνοῦμεν, λέγοντες· χαῖρε, θαυματοφόρε Ἑρμόγενες ὅσιε.

Ὁ Οἶκος.

Ἡ σορός σου, σοφὲ Ἱεράρχα, πᾶσι βρύει ἰάματα· ἐξ ὧν πάντες πιστοὶ ἀρυόμενοι, σῴζονται, ἐκ νόσων πολλῶν, ψυχῶν τε καὶ σωμάτων, ὧνπερ ὁ τάλας ἐγὼ πεπείραμαι, ῥυσθεὶς τῶν θλιβόντων με· καὶ διὰ τοῦτο τὴν σὴν ἀντίληψιν νῦν ἀνευφημῶ, καὶ διηγοῦμαι τρανῶς, τὰ σὰ θαύματα, πῶς ἐπιφθάνεις τοὺς ἐν ἀνάγκαις, καὶ ἐκλυτροῦσαι πειρασμῶν τοὺς προσιόντας σοι θερμῶς. Διὸ δίδου ἰσχύν μοι ἀνυμνεῖν σε· Σὺ γὰρ πάντων τῶν ἀσθενούντων, ἰατρὸς ὤφθης, θαυματοφόρε Ἑρμόγενες ὅσιε.

www.tezaurliturgic.ro



Συναξάριον.

Τῷ αὐτῷ μηνί Ε΄, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἑρμογένους, τοῦ θαυματουργοῦ.

Στίχοι.

Δοὺς Ἑρμογένης χοῦν χοΐ θνητῶν νόμῳ,
Θεὸς Θεῷ πρόσεισι, τῷ φύσει θέσει.

Ἑρμογένης πέμπτη, ᾤχετο γαίης.

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ἱερομάρτυς Ἑρμογένης ὁ θαυματουργός, ἐγεννήθη εἰς τὴν ἐπαρχίαν τῶν Μυρέων, εἰς μίαν χώραν τῆς Ἀνατολῆς, Φοίνικαν ὀνομαζομένην, ἀπὸ εὐσεβεῖς καὶ φιλοθέους γονεῖς. Εἰς τὴν ὁποίαν ἀνατραφείς, ἔδωσαν αὐτὸν εἰς μάθησίν τῶν θείων καὶ ἱερῶν γραμμάτων, καὶ ὡς ἀγχίνους, μᾶλλον εἰπεῖν πεφωτισμένος τῇ θείᾳ χάριτι τοῦ Παναγίου Πνεύματος, ἔμαθε τελείως τὴν τε Παλαιὰν καὶ Νέαν θεόπνευστον Γραφήν. Καὶ νέος ὤν, ἐσχόλαζεν ἐν προσευχαῖς καὶ νηστείαις, καὶ παννύχοις στάσεσι, καὶ ὁλονυκτίοις δεήσεσι.

Εἶτα τῶν γονέων αὐτοῦ ἀπελθόντων εἰς τὰς αἰωνίους μονάς, οὗτος ὁ ἀοίδιμος διαμοιράσας εἰς πτωχοὺς καὶ ὀρφανὰ καὶ ἐκκλησίας τὴν ἑαυτοῦ οὐσίαν, ἀνεχώρησεν εἰς τὴν Αἴγυπτον, (τὸ νῦν λεγόμενον Μισίριον). Κἀκεῖσε διέτριβε, μετὰ τῶν ἐκεῖσε εὑρισκομένων Διδασκάλων, τῶν τε Χριστιανῶν καὶ Ἑλλήνων. Καὶ ὡς ἀγαθὴ γῆ ἐδέχθη τῶν μαθημάτων σπόρον τὸν θεῖον, αὐξάνων τὸν θεῖον λόγον τῆς ἀληθοῦς τοῦ Χριστοῦ πίστεως. Εἶτα τὰ ἀνωτερικὰ μέρη κατέλαβεν. Καὶ εἰς τὰς Ἀθήνας ἀπελθών, καὶ χρόνον οὐκ ὀλίγον διαρκέσας, περισσοτέρας παιδείας ἔμπλεος γέγονεν.

Εἶτα τὴν Κωνσταντινούπολιν κατέλαβεν, καὶ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετήν, Ἐπίσκοπος τῆς τῶν Σαμουταίων Ἐκκλησίας κεχειροτόνηται. Καὶ μετὰ τὴν αὐτοῦ χειροτονίαν πολλῶν θαυμάτων γέγονεν αὐτουργός. Πολλὰ συγγράμματα τῇ Ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρέδωκεν, εἰς πολλῶν ὠφέλειαν. Καὶ πολλοὺς τῶν Ἑλλήνων πρὸς τὴν τοῦ Χριστοῦ πίστιν προσέφερεν, διδάσκων αὐτοὺς πῶς ὁ Χριστὸς εἶναι Θεὸς ἀληθινός, ἀδιάδοχος, τὰ δὲ εἴδωλα εἶναι πέτρες καὶ ξύλα καὶ ἄλλα τῆς γῆς μέταλλα, ποιήματα ἀνθρώπων καὶ τεχνουργήματα ἄχρηστα καὶ τῶν διαμόνων ὁμοιώματα. Μὲ τοιούτους λόγους παραινετικοὺς τοὺς ἀσεβεῖς ἔσυρνεν εἰς εὐσέβειαν ὁ εὐσεβέστατος, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ εἰς τὸ ὄνομα τῆς ὁμοουσίου Τριάδος. Τοιουτοτρόπως τῆς λογικῆς μάνδρας τὸ λογικὸν ποίμνιον ηὔξανεν καὶ ἡ τῶν Χριστιανῶν πίστις ἐμακαρίζετο. Καὶ καθ' ἑκάστην ἡμέραν δέν ἠμέλει ὁ ἁγιώτατος νὰ ἐπιστρέφῃ ψυχὰς πρὸς τὴν τοῦ Θεοῦ ἐπίγνωσιν, τόσον Ἑλλήνων καὶ Ἰουδαίων, ὅσον τοὺς τὰ Ἀρείου φρονοῦντας σαθρὰ καὶ μάταια δόγματα, τὸν δὲ Χριστὸν ὁμοούσιον καὶ συναΐδιον καὶ σύνθρονον τῷ Πατρί, ἐν δύο φύσεσι δοξαζόμενον, ἀνεκήρυττε. Λάμπων ὡς νέος Μωϋσῆς ἐν τοῖς θαύμασιν ὁ ἀείμνηστος· καὶ εἶχε δεδοξασμένον τὸ πρόσωπον ὡς Ἀγγέλου ὁ μακάριος.

Οὕτως ἰθύνων καὶ διακρατῶν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ καλῶς διακυβερνωμένης αὐτῆς, οὐκ ἔφερε βλέπων τὴν εἰρηναίαν κατάστασιν ὁ σπορεὺς τῶν ζιζανίων καὶ χαιρέκακος διάβολος. Ἐξήγειρε κατὰ τῶν Χριστιανῶν μέγαν πόλεμον ὁ πολέμιος καὶ ἀνίσχυρος, ἐξάψας τὴν τῶν εἰδώλων θρησκείαν, ὡς καπνὸν ζοφωδέστατον. Καὶ ἐστάλθησαν ὁρισμοὶ εἰς πᾶσαν πόλιν καὶ χώραν, νὰ προσκυνοῦνται τὰ ξόανα καὶ οἱ βωμοὶ νὰ ἀνοίγωνται καὶ οἱ δαίμονες ὑπὸ τῶν ἀφρόνων νὰ λατρεύωνται καὶ μὲ βδελυρὲς θυσίες νὰ δοξάζωνται. Καὶ ἀνηλεεῖς καὶ ὠμοὶ τοπάρχαι καὶ ἡγεμόνες ἐστέλλοντο, παίρνοντες καὶ βασιλικοὺς ὁρισμοὺς ὁ καθ' εἷς εἰς τὰς ἑαυτῶν Ἐπαρχίας, πρὸς ἐξέτασιν τῶν Χριστιανῶν, οἱ ἄχρηστοι καὶ ἀδιάκριτοι. Ἐκ τούτων ἦν καὶ ὁ Σαμουταίων νήσου Ἡγεμών, Σαντορνῖνος τοὔνομα· καὶ ὡς ἐκάθισεν ἐπὶ τῷ δικαστικῷ αὐτοῦ βήματι ὁ ἀδικώτατος, τὰς ἀδίκους ψήφους καὶ νόμους ἀνεγίνωσκεν ὁ ἀνομώτατος. Λέγοντας ὅποιος ἀρνηθῇ τὸν Χριστὸν νὰ λαμβάνῃ μεγάλες τιμές, καὶ ὅποιος πάλιν στέκει εἰς τὸ πεῖσμά του καὶ δέν θέλει νὰ ἀρνηθῇ τὸν Χριστόν, νὰ ὑστερῆται τὴν οὐσίαν τῶν πραγμάτων του, καὶ νὰ παιδεύεται ἀνελεήμονα, καὶ διὰ πολλῶν βασάνων νὰ στρατεύεται τὸ ἀπομονάριν τῆς παρούσης ζωῆς. Ταῦτα ἀναγνώθοντας ὁ δυσσεβὴς Ἡγεμὼν εἰς ἐπήκοον πάντων, τινὲς μισόχριστοι, μᾶλλον εἰπεῖν τοῦ διαβόλου ὑπηρέται, διέβαλον τὸν ἅγιον ὡς Χριστιανὸν καὶ Ἀρχιερέα καὶ Διδάσκαλον τῶν Χριστιανῶν, ὃς διδάσκει τοὺς ἁπλουστέρους νὰ πιστεύουν τὸν Χριστὸν καὶ τὰ εἴδωλα νὰ ἀποστρέφωνται.

Ταῦτα ἀκούσας ὁ φοβερὸς Σαντορνῖνος περὶ τοῦ Ἁγίου, ἐξαποστείλας στρατιώτας, ἔφερε τὸν Ἅγιον ἔμπροσθεν αὐτοῦ, καὶ λέγει πρὸς αὐτόν. Ἤκουσα ὅτι ἐσὺ εἶσαι ὁ διδάσκαλος τῶν Χριστιανῶν, καὶ ἀρχιερέας τους, καὶ διδάσκεις τους νὰ προσκυνοῦν Θεὸν νεώτερον, τὸν ὁποῖον ἐσταύρωσαν οἱ Ἑβραῖοι, ὡς κακοῦργον, καὶ νὰ ἀποστρέφωνται τοὺς αἰωνίους θεούς, τοὺς ὁποίους ὅλοι τοὺς προσκυνοῦν. Ὁ Ἅγιος πρὸς αὐτὸν ἀπεκρίνατο θαρσαλέως· τὰ εἴδωλα τῶν ἐθνῶν, ὦ ἡγεμών, εἰσὶ δαιμόνια· ὁ δὲ Κύριος τοὺς Οὐρανοὺς ἐποίησε, καὶ πάντα τὰ ὁρατὰ καὶ ἀόρατα. Αὐτὸς μὲ τὴν ἐδικήν του δύναμιν καὶ θέλησιν τὰ ἔκτισεν, καὶ ἀσαλεύτως τὰ ἐστερέωσεν, καὶ πάντα αὐτῷ δουλεύουσιν ὡς δοῦλα, καθὼς λέγει· ὅτι τὰ σύμπαντα δοῦλα σά. Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τοὺς ἐχάρι-

www.tezaurliturgic.ro



σε ζωὴν καὶ πνοὴν καὶ τὴν ἀειποτεσινὴν κίνησιν· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ αὐτὸν τὸν Θεόν, ὦ Ἡγεμών, ὡς Κτίστην καὶ Δημιουργὸν ὅλου τοῦ κόσμου, πρέπει νὰ προσκυνοῦμεν, καὶ νὰ προσφέρωμεν θυσίαν αἰνέσεως· τὰ δὲ εἴδωλα νὰ ἀποστρεφώμεθα, ὡς ἀκάθαρτα βδελύγματα καὶ ἀπωλείας τῶν ἀνθρώπων αἴτια.

Ταῦτα ἐξέκαυσαν τὸν θυμὸν τοῦ Τυράννου, καὶ ἐπρόσταξε νὰ τὸν δέσουν τὸν Ἅγιον κατὰ γῆς εἰς τέσσερα μέρη, καὶ νὰ τὸν δέρνουν ὥραν πολλήν, ἕως νὰ διαλυθοῦν αἱ σάρκες του. Τούτου δὲ γενομένου, λέγει πρὸς τὸν Ἅγιον· ἆράγε, Ἐπίσκοπε, νὰ ἐσωφρονίστης; καὶ ἔμαθες νὰ ἀποκρίνεσαι; Ὁ δὲ Ἅγιος πρὸς αὐτὸν εἶπε, μὲ χαριέστατον πρόσωπον· ἀσεβέστατε καὶ πάσης κακίας μεμεστωμένε, ὁ Χριστὸς μοῦ εἶπε νὰ μὴ φοβούμαστεν ἀπὸ ἐκείνους ὁποὺ θανατώνουν τὸ σῶμά μας, τὴν δὲ ψυχὴν δὲν δύνουνται νὰ βλάψουν. Μὰ θαρρῶ εἰς τὴν αὐτοῦ ἄμαχον καὶ ἀνίκητον δύναμιν, πῶς θὰ ἀποκάμῃς ἐσὺ δέρνοντας, παρὰ ἐγὼ ὑπομένοντας.

Ταῦτα ἐτάραξαν τὸν Ἡγεμόνα, καὶ ἐπρόσταξε καὶ ἐκρέμασαν τὸν Ἅγιον ὑψηλὰ εἰς ἕνα ὀρθὸν ξύλον· καὶ μὲ χειράγρες σιδερένιες ἐκατάξεαν καὶ κατέκοπταν τὰ μέλη τοῦ Ἁγίου· καὶ μὲ λαμπάδες ἀναμμένες ἐκατάκαιαν τὲς μασχάλες του. Καὶ τούτου γενομένου, ὁ Ἅγιος, ὥσπερ νὰ ἔπασχεν ἄλλος, καὶ αὐτὸς νὰ ἦτον εἰς βασιλικὸν θάλαμον, οὕτως ὡραῖος καὶ χαρίεις ἐφαίνετον ὁ τρισόλβιος. Ὁ δὲ Ἡγεμὼν ἐμαίνετο, καὶ περίσσα ἀγριώνετον, καὶ ἐλυσσομάχα ὁ κατάρατος. Καὶ οὕτως ἀπορῶν ἐπρόσταξε καὶ τὸν ἐφυλάκωσαν, ἕως ἑτέραν ἐξέτασιν. Ὁ δὲ ἅγιος πηγαινάμενος εἰς τὴν φυλακήν, εὐχαρίστα καὶ ἐδόξαζε τὸν Κύριον πῶς τὸν ἠξίωσε νὰ μαρτυρήσῃ διὰ τὸ ὄνομά Του τὸ ἅγιον. Ὡσὰν τὸν ἐπῆγαν καὶ τὸν ἐφυλάκωσαν, τοὺς μὲν πόδας αὐτοῦ ἐσφάλησαν εἰς τὸ τιμωρητικὸν ξύλον, εἰς δὲ τὸν τράχηλόν του ἔβαλαν οἱ αἱμοβόροι σκύλλοι καὶ μίαν βαρέαν ἅλυσον. Καὶ τὴν φυλακὴν ἀσφαλῶς ἐκλείδωσαν, διὰ νὰ μὴν ἔλθουν τινὲς Χριστιανοὶ καὶ ἐπιμεληθοῦν τὸν Ἅγιον, πλὴν ἐφύλαγαν φύλακες τὸ δεσμωτήριον. Καὶ τὸ μεσάνυκτον γέγονε σεισμὸς μέγας, καὶ φῶς πολὺ ἔλαμψεν εἰς τὴν φυλακήν, καὶ ἦλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, μετὰ πλήθους ἁγίων Ἀγγέλων, καὶ τὸν μὲν Ἅγιον ἔλυσεν ἀπὸ τὰ δεσμά, καὶ τὸν ἐδυνάμωσε λέγων· Χαίροις, ἱερομάρτυς Ἑρμόγενες, ἀνδρίζου καὶ δυναμώνου, καὶ δὲν σὲ ἐγκαταλείπω. Καὶ οὕτως εἰπὼν ὁ μὲν Κύριος ἀνελήφθη εἰς Οὐρανοὺς μετὰ τῶν ἁγίων Ἀγγέλων, ἔμεινε δὲ ὅλον τὸ δεσμωτήριον γεμᾶτον εὐωδίαν ἀνείκαστον, καὶ ὁ Ἅγιος ἔγινεν ὑγιὴς ἐκ τῶν πληγῶν· οὐδὲ κἂν σημάδι ἐφαίνετο.

Τὴν ἐρχομένην ἡμέραν πάλιν ὁ Σαντορνῖνος ἐκάθησεν ἐπὶ τοῦ βήματος, καὶ ἐπρόσταξε νὰ φέρουν τὸν Ἅγιον. Καὶ ἐλθὼν ὁ Ἅγιος, ὡς εἶδεν αὐτὸν ὁ Ἡγεμὼν ἐξέστη, καὶ πάντες οἱ συγκαθεζόμενοι. Ὁ δὲ Ἡγεμὼν εἶπε πρὸς τὸν Ἅγιον εἰρωνικῶς· ἆράγε, ὦ Ἐπίσκοπε, νὰ ἦλθες εἰς μεταμέλειαν; Ἢ ἀκόμη στέκεις εἰς τὴν προτέραν γνώμην; Ὁ δὲ Ἅγιος εἶπε πρὸς αὐτόν· ἔπρεπέ σοι, ὦ Ἡγεμών, ἐσὺ νὰ μεταμεληθῇς, νὰ στρέψῃς πρὸς τὴν ἀλήθειαν, καὶ νὰ παραιτήσῃς τὸ ψεῦδος, διὰ νὰ σὲ δεχθῇ ὁ πολυεύσπλαγχνός μου Ἰησοῦς Χριστός! Ὁ δὲ μωρὸς καὶ ἀνεπίγνωστος καὶ πονηρευόμενος Τύραννος ἐπρόσταξε καὶ ἔφεραν ἄγρια ἄλογα καὶ ἔδεσαν τὸν Ἅγιον εἰς αὐτά, διὰ νὰ τὸν σύρουν κατὰ γῆς, ἕως νὰ σπαράξουν τὰ μέλη του. Τὰ δὲ ἄγρια ζῶα ὡς πρόβατα ἡμερώθησαν. Ὁ δὲ Ἅγιος ἔψαλλε· Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ὁ δὲ ἀποστάτης Τύραννος, ὡς κινούμενος ἀπὸ τοῦ πατρὸς αὐτοῦ διαβόλου, ἔλεγε λόγια βλάσφημα κατὰ τῆς θείας Προνοίας. Ὁ δὲ Ἅγιος ἐξεμυκτήριζε τὰ εἴδωλα, καὶ τοὺς θεοὺς αὐτῶν ὕβριζε, καὶ τοὺς αὐτῶν λατρευτὰς ἀναθεμάτιζεν, ὡς πεπλανημένους. Ἀκούσας δὲ ταῦτα ὁ Τύραννος, ἐπρόσταξε μὲ λίθους — ὁ τῶν λίθων ἀναισθητότερος — νὰ τύπτουν τὸν Ἅγιον εἰς τὸ στόμα· καὶ νὰ ξερριζώσουν τὰ ὀδόντιά του· καὶ νὰ τὸν ἐπάρουν νὰ τὸν ῥίψουν κατακέφαλα εἰς τὸν κρημνόν, ὁποὺ ἦτον ἐκεῖ σιμά. Ὁ δὲ Ἅγιος ἔμεινεν ἀβλαβής, δοξάζων τὸν Κύριον. Ὁ δὲ Τύραννος ἐπρόσταξε νὰ λωροτομήσουν τὸν Ἅγιον· οἱ δὲ ὑπηρέται τοῦ Ἡγεμόνος — μᾶλλον εἰπεῖν τοῦ διαβόλου — μὲ κοπτερὰ ξουράφια, ἐλωροτόμησαν τὸν Ἅγιον. Καὶ τὰ μὲν ἔμπροσθεν λωρία, τὰ ἐκρέμασαν ὄπισθεν, τὰ δὲ ὄπισθεν ἐκρέμασαν ἔμπροσθεν, καὶ κατὰ τοὺς ὤμους τοῦ Μάρτυρος ἐκρέμοντο. Ὁ δέ, ὡς ἀδάμας στεῤῥόψυχος, ἀνασπάσας ἕνα λῶρον ἔῤῥιψε κατὰ πρόσωπον τοῦ Τυράννου. Ὁ δὲ Τύραννος ἐπληρώθη θυμοῦ καὶ ὀργῆς καὶ ὀργισμένος εἶπε μὲ πυρωμένες σοῦβλες νὰ καύσουν τὸν Ἅγιον εἰς τὰς μασχάλας, εἰς τὰ ὠτία καὶ εἰς τὴν κοιλίαν. Ὁ δὲ Ἅγιος καὶ ἀπὸ ταύτην τὴν βάσανον ἔμεινεν ἀβλαβής. Καὶ πολλοὶ ἰδόντες τὸ θαῦμα ἔκραξαν μεγαλοφώνως· μέγας ὁ Θεὸς τῶν Χριστιανῶν. Καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστὸν καὶ ἐβαπτίσθησαν ὑπὸ τοῦ Ἁγίου, εἰς τὸ ὄνομα τῆς ὁμοουσίου Τριάδος.

Ὁ δὲ Τύραννος ἀκούσας, ὡς ἀπεγνωσμένος καὶ τετυφλωμένος ἀπὸ τὸ βάθος τῆς κακίας του, ἔδωκε τὴν ἀπόφασιν κατὰ τοῦ Ἁγίου. Καὶ οὕτως, ὁ Ἅγιος πηγαινάμενος εἰς τὸν τόπον τῆς καταδίκης, ἔλεγεν ἀγαλλιώμενος· Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὁποὺ μὲ ἠξίωσες νὰ κηρύξω τὸ ὄνομά σου, ἐνώπιον τῶν ἐχθρῶν σου. Καὶ ὡς μᾶς ἐπρόσταξες, ἀθάνατε Κύριε, νὰ βαστάσωμεν τὸ ἅγιον ὄνομά σου, ἐνώπιον Βασιλέ-

www.tezaurliturgic.ro



ων καὶ Τυράννων, καὶ διὰ τὴν ἀγάπην σου νὰ θανατούμεθα ὡς πρόβατα, διὰ σὲ τὸ Ἀρνίον τὸ ἄμωμον, ὁποὺ ἐθυσιάσθης διὰ τὸ ἀνθρώπινον γένος. Ταῦτα τοῦ Ἁγίου προσευχομένου, ἔφθασαν εἰς τὸν Βυῤῥάν, τὸν τόπον τῆς καταδίκης. Καὶ κλίνας τὰ γόνατα κατὰ ἀνατολάς, προσηύξατο, εἰς ἐπήκοον πάντων· Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ μονογενές, τοῦ προανάρχου Πατρός, μετὰ τοῦ ἀθανάτου καὶ ζωαρχικοῦ Πνεύματος, ὁ ὢν εἰς τοὺς αἰῶνας, συναΐδιε, ὁμοούσιε καὶ συνάναρχε, ἔχων ἐξουσίαν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ καὶ τὰ πάντα ὑποτεταγμένα εἰσὶν εἰς τὸ κράτος τῆς δόξης σου. Δέομαί σου, Κύριέ μου, τὴν ὥραν ταύτην. Ἐπάκουσόν μου τοῦ πιστοῦ δούλου σου, εἰς αὐτὸ ποὺ Σὲ παρακαλῶ, Πολυέλεε, καὶ παράλαβε τὸ πνεῦμά μου ἐν εἰρήνῃ. Καὶ συγχώρησον, Εὔσπλαγχνε, τοῖς ἐχθροῖς ἡμῶν, καὶ πρὸς ἐπίγνωσίν σου ὁδήγησον. Καὶ τοὺς πιστοὺς δούλους σου εἰς τὸν φόβον σου στερέωσον. Καὶ τοὺς τὴν μνήμην μου ἑορτάζοντας τὴν τῶν ἁμαρτιῶν ἄφεσιν δώρησαι. Καὶ τοὺς ἐπικαλουμένους με διὰ τοῦ ἁγίου σου Ὀνόματος, ἀπό πᾶσαν νόσον καὶ ἀσθένειαν, ἀλγηδόνα καὶ μάστιγα, ὡς παντοδύναμος Θεὸς αὐτοὺς ἀπάλλαξον καὶ ἐλευθέρωσον. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν. Εὐθὺς φωνὴ μεγάλη ἠκούσθη, ὡς βροντὴ λέγουσα· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Καὶ ὡς ἐζήτησας, δοῦλε μου, οὕτως ἔστω σοι εἰς αἰῶνας αἰώνων. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Ὁ δὲ Ἅγιος χαρᾶς πλήρης γενόμενος, κλίνας τὴν ἱερὰν καὶ τιμίαν κεφαλήν, ἀπετμήθη τὸν αὐχένα τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου μηνός.

Τινὲς δὲ Χριστιανοί, ἐλθόντες διὰ νυκτός, ἔκλεψαν τοῦ ἱερομάρτυρος τὸ ἱερὸν καὶ σεβάσμιον αὐτοῦ λείψανον. Καὶ θήκην ἑτοιμάσαντες ἔβαλον εἰς αὐτὴν τὸν Ἅγιον μὲ τὰ ἱερὰ αὐτοῦ ἄμφια, ὁμοίως καὶ τὴν ἱερὰν καὶ σεβάσμιον αὐτοῦ κάραν, καὶ καλῶς αὐτὴν ἐσφάλησαν. Καὶ προσευξάμενοι, εἰς τὴν θάλασσαν προσέῤῥιξαν. Ἡ δὲ τοῖς κύμασι φερομένη, ἦλθεν ἕως τῆς περιφήμου νήσου Κύπρου, εἰς τόπον ὀνομαζόμενον Κούριον. Καὶ εὑρόντες τινὲς πιστοὶ τὸν μακάριον τοῦτον καὶ ἄσυλον θησαυρόν, ἀνήγγειλαν τοῖς Ἐπισήμοις τῆς πόλεως, ἀρχιερεῖς καὶ ἱερεῖς, κληρικοῖς καὶ παντὶ τῷ λαῷ. Καὶ ἐλθόντες μετὰ θυμιατῶν καὶ λαμπάδων, κατέθηκαν αὐτὸν ἐν ἐπισήμῳ τόπῳ, καὶ ἀνήγειραν αὐτῷ ναὸν ἅγιον. Ἐν ᾧ δὲ τόπῳ κεῖται, ἰάματα βρύει ἀενάως, τοῖς μετὰ πίστεως προσερχομένοις, μέχρι τὴν σήμερον, εἰς δόξαν Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, τῆς ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Τῆς Θεοτόκου.

Ὠδὴ ζ΄.

Ὁ Εἱρμός.

» Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες
» ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος,
» τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλον-
» τες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνή, δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

Τοῦ Ἱερομάρτυρος.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες.

Ἀποῤῥήτων θαυμάτων, αὐτουργός, Ἱεράρχα, παρὰ Χριστοῦ γεγονώς, ἐφώτισας τὸν κόσμον, τῇ πράξει καὶ τῷ λόγῳ, ἐκδιδάξας βοᾶν εὐσεβῶς· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Λαμπρυνθεὶς τῇ ἀγάπῃ, τοῦ τῶν ὅλων Δεσπότου, Μάρτυς Ἑρμόγενες, ὑπέκλινας αὐχένα, τὴν κάραν γὰρ ἐτμήθης, τῷ Κυρίῳ ἐκραύγαζες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γενναιότητι, Πάτερ, τῆς ψυχῆς καὶ ἀνδρείᾳ θράσος ἀντίπαλον, τυράννων ἀνομούντων,

www.tezaurliturgic.ro


διήλεγξας, θεόφρον, καὶ Χριστῷ ἀνεκραύγαζες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Δεδεμένον σειραῖς με, ἀμυθήτων πταισμάτων λῦσον, Πανάμωμε, παρέχουσά μοι ὄμβρους, δακρύων μελῳδοῦντι, τῷ ἐκ σοῦ ἀνατείλαντι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος.

Θεοῦ συγκατάβασιν.

Ὁ θάνατος γέγονεν, ἐν σοὶ πορεία τῶν τῇδε, Ἅγιε, ἀρθεὶς πρὸς οὐρανόν τε, ὡς ὑψιβάμων πρὸς τὰ οὐράνια, καὶ νῦν χορεύεις Ἀγγέλοις συμψάλλουσιν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁδὸν μαρτυρίου σου, ὁ Ἱεράρχης τρέχων διήνυσε, πλατυνθεὶς τὴν καρδίαν, τῇ ἐνεργείᾳ τοῦ θείου Πνεύματος· καὶ νῦν προθύμως κραυγάζει σοι, Δέσποτα· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τριαδικόν.

Νοῦν πρῶτον καὶ ἄναρχον, γεγεννηκότα Λόγον συνάναρχον, ἀπαθῶς καὶ ἀχρόνως, καὶ προβαλόντα Πνεῦμα Πανάγιον, σὲ τὸν Πατέρα εἰδότες κραυγάζομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἀμφότερα πέφυκας, Παρθένος Μήτηρ, Θεοκυῆτορ Ἁγνή, ἐν γαστρὶ συλλαβοῦσα, Θεὸν ἀφράστως ἐκ σοῦ σαρκούμενον, ἐν ἑκατέρᾳ μορφῇ γνωριζόμενον, θεανδρικῶς ἐπὶ γῆς πολιτευσάμενον.

Τῆς Θεοτόκου.

Ὠδὴ η΄.

Ὁ Εἱρμός.

» Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι,
» στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερ-
» υψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς, Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε, Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας, Παρθένε, ἵνα σὲ δοξάζω τὴν Κεχαριτωμένην.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους, Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ Ἱερομάρτυρος.

Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι.

Τὰς ἀναιμάκτους εἰλικρινῶς, τῇ Τριάδι ἀναφέρων θυσίας, παμμάκαρ, σφάγιον ἐγένου, Χριστοῦ, Ἱερομάρτυς.

Τὴν ἱεράν σου βάψας στολήν, τῷ οἰκείῳ, Θεοφόρε, αἵματι προθύμως, στέφανον ἐδέξω, διπλοῦν, Ἱερομάρτυς.

Ὡς Ἱεράρχης ὄντως Χριστοῦ, ἐκμιμήσει συμπαθείας θνήσκων, ὑπερηύχου, σοῦ τοὺς φονευτάς, τεύξεσθαι σωτηρίας.

Θεοτοκίον.

Λόγον συνείληφας ἐν γαστρί, ὑπὲρ λόγον, καὶ τεκοῦσα πάλιν παρθενεύεις· πάντα ὑπὲρ φύσιν, τὰ σά, Θεογεννῆτορ!

Ἄλλος.

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων.

Ἁγιωσύνης τέμενος, ἱεράρχα Ἑρμόγενες, πάντας ἁγιάζεις, τοὺς τῷ σῷ ὀνόματι; καλεῖσθαι σπουδάζοντας· καὶ τὴν εἰκόνα, Πάτερ, τὴν σήν, σχέσει τῇ πρὸς σέ, διαχαράττοντας πόθῳ, καὶ πίστει μελῳδοῦντας· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Μυστικωτέρᾳ κλίμακι, κεχρημένος τῷ αἵματι, πρὸς τὸν ὑπὲρ σοῦ διὰ Σταυροῦ ἐκχέαντα, τὸ αἷμα τὸ ἴδιον, σφαγιασθεὶς ἀνῆλθες φαιδρῶς, τὰς τῶν δυσμενῶν, διεκφυγὼν μεθοδείας, καὶ χαίρων ἀνακράζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μυσταγωγίαις ἄριστα, τὴν σὴν ποίμνην ἐφώτισας· νῦν δὲ πρωτοτόκων, Ἐκκλησίαν ηὔξησας, προσθήκη γενόμενος, τοῖς ἀπ' αἰῶνος λάμψασιν ἱεραρχικαῖς, καὶ μυστικαῖς λειτουργίαις, μεθ' ὧν βοᾷς ἀπαύστως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἱερωτέρα πέφηνας, Θεοτόκε πανύμνητε, τῆς ὑπερκοσμίου, τῶν Ἀγγέλων τάξεως· τὸν τούτων γὰρ τέτοκας, Δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς, ἀπειρογάμου νηδύος, ἐν δύο ταῖς οὐσίαις, ἀσυγχύτως, ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει, Θεὸν σεσαρκωμένον.

Τῆς Θεοτόκου.

Ὠδὴ θ΄.

Ὁ Εἱρμός.

» Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ
» σοῦ σεσωσμένοι, Παρθένε Ἁγνή, σὺν
» ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα, Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων γενοῦ, Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον, Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Τοῦ Ἱερομάρτυρος.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἱστίῳ πτερωθεῖσά σου ἡ ψυχή, τοῦ Ἁγίου, τρισόλβιε, Πνεύματος, τὸ χαλεπόν, πέλαγος διῆλθε τῶν αἰκισμῶν, καὶ τοὺς λιμένας ἔφθασε, τοὺς ἐπουρανίους περιχαρῶς, βυθίσασα τοῦ πλάνου, δολίας παρατάξεις, θείᾳ πλημμύρᾳ τῶν αἱμάτων σου.

Ἡ θήκη σου πηγάζει μύρα ζωῆς, καὶ ἐκβλύζει ὡς νάματα θαύματα· ἣν οἱ πιστοί, πάντοτε κυκλοῦντες περιχαρῶς, καὶ πόθῳ ἀσπαζόμενοι, τὸν ἁγιασμόν τε καὶ φωτισμόν, ἀντλοῦσι τὴν ἁγίαν, δοξάζοντές σου μνήμην, Ἱερομάρτυς παμμακάριστε.

Στησώμεθα χορείαν πνευματικήν, τὸν στεῤῥὸν Ἑρμογένην καὶ μάρτυρα, χαρμονικῶς, νῦν ἀνευφημοῦντες καὶ τοῖς αὐτοῦ, κατατρυφῶντες σήμερον, πόνοις οἷς ὑπέστη διὰ Χριστόν, γενναίως ἐναθλήσας, καὶ τῆς πολυθεΐας, καταστρεψάμενος τὸ ἄθεον.

Θεοτοκίον.

Φωτός σου ταῖς ἀκτῖσι ταῖς μυστικαῖς, τοῦ νοός μου τὸ σκότος ἀπέλασον, Μῆτερ Θεοῦ, καὶ τῶν λογισμῶν μου τὸ χαλεπόν, κλυδώνιον κατεύνασον, καὶ πρὸς τοὺς λιμένας τοὺς γαληνούς, ὁδήγησόν με μόνη, ἡ πάντων σωτηρία, ὅπως ἐν πίστει μακαρίζω σε.

Ἄλλος.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἐπέστη ἡ φωσφόρος σου ἑορτή, παμμακάριστε πάτερ Ἑρμόγενες, πλήρης χαρᾶς, πλήρης εὐφροσύνης πνευματικῆς, πλήρης Ἁγίου Πνεύματος, πλήρης εὐωδίας καὶ φωτισμοῦ· καὶ νῦν σε κεκτημένοι, ἀθλήσεως κανόνα, τῶν σῶν θαυμάτων ἀγαλλόμεθα.

www.tezaurliturgic.ro


Μὴ παύσῃ ἱκετεύων τὸν Λυτρωτήν, ἱερώτατε Πάτερ, δωρήσασθαι, τοῖς εὐλαβῶς, μνήμην σου τελοῦσι τὴν ἱεράν, τὴν τῶν πταισμάτων ἄφεσιν, τὴν τῶν χαρισμάτων διανομήν, τὴν θείαν προστασίαν, ψυχῶν τὴν σωτηρίαν, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Ἀγῶνας διανύσας τοὺς εὐαγεῖς, καὶ τὸν δρόμον τελέσας τὸν κάλλιστον, καὶ τὴν ὀρθήν, πίστιν ἐκδιδάξας πανευσεβῶς, δικαιοσύνης στέφανον, παρὰ τοῦ τῶν πάντων Δημιουργοῦ, ἐδέξω, Ἱεράρχα, διπλοῦς καὶ τοὺς καμάτους, ὕμνοις ἐξ ὕμνων προπεμπόμενος.

Θεοτοκίον.

Ῥαδίως, Θεοτόκε, διαπερᾶν, τὸν τοῦ βίου παράσχου μοι κλύδωνα, τῶν πειρασμῶν, τὰς ἐπαναστάσεις καὶ τῶν παθῶν, ὡς ἀγαθὴ πραΰνουσα, καὶ καθοδηγοῦσα πρὸς ἀρετῆς, οὐράνιον πορείαν, ὅπως ὡς εὐεργέτιν, ἀκαταπαύστως μεγαλύνω σε.

Ἐξαποστειλάριον.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ παμφαὴς ἐπέστη, τοῦ Ἱεράρχου ἑορτή· δεῦτε προθύμως ἐν ταύτῃ, ἀνευφημήσωμεν Χριστόν, τὸν θαυμαστὸν ἐν Ἁγίοις, καὶ μόνον Κύριον ὄντα.

Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς ἀπηλπισμένων, καταφυγὴ Χριστιανῶν, σὺν Ἀποστόλοις, Προφήταις, καὶ τῷ σοφῷ Ἱεράρχῃ, τὸν σὸν Υἱὸν ἐκδυσώπει, ὑπὲρ τῶν σὲ προσκυνούντων.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες, ὑμᾶς.

Παμμάκαρ Ἑρμόγενες, Χριστοῦ, τὸν ζυγὸν ἠγάπησας, τὸν ἐλαφρὸν καὶ χρηστότατον, κόσμον δὲ ἔλιπες, καὶ Χριστὸν ἐζήτεις, οὗπερ καὶ ἐπέτυχες, ποιμήν τε ἀληθὴς αὐτοῦ γέγονας· διὸ νῦν πρέσβευε, δωρηθῆναι τοῖς τιμῶσί σε, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἀρνίον ὡς ἄκακον Χριστοῦ, τὰ πάθη μιμούμενος, σφαγὴν καὶ τρώσεις, Μακάριε, γενναίως ἔφερες, ἐκτμηθεὶς τὴν κάραν, καὶ τὰς χεῖρας, Ὅσιε, δοράν τε ἀπεκδάρης τοῦ σώματος, λώροις οὓς ἔῤῥιψας, ἐν προσώπῳ γενναιότατα, τοῦ Τυράννου· ὅθεν εὐφημοῦμέν σε.

Ὕμνοις εὐφημήσωμεν, πιστοί, τὸν Ἱερομάρτυρα, ἀνδρειοτάτως ἀθλήσαντα, ὑπὲρ τῆς πίστεως, καὶ τῆς ἀληθείας, καὶ νῦν ἐνσκηνώσαντα, ὅπου τὸ φῶς ὑπάρχει τὸ ἄληκτον· αὐτὸν αἰτούμενοι, δυσωπεῖν Χριστὸν τὸν Κύριον, ὑπὲρ πάντων τῶν ἀνευφημούντων αὐτόν.

Ἡ θάλασσα εἶδέ σέ ποτε, ἀετὸν ὑπόπτερον, διαπερῶντα τὰ ὕδατα, οὐ πτέρυξι, Σοφέ, λάρνακι δὲ μᾶλλον, ὡς ἡ θεία Πρόνοια, ηὐδόκησε, παμμάκαρ Ἑρμόγενες, ᾗς καὶ πειθόμενος, τοὺς λιμένας νῦν κατέλαβες, νήσου Κύπρου· ταύτην ἀεὶ φύλαττε.

Δόξα... Ἦχος πλ. δ΄.

Θεοφόρε Ἑρμόγενες, τὸν σὸν ἔρωτα Χριστὸν ἐνστερνισάμενος, ἆθλον ἐκομίσω, τῆς ἱερουργίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, τὸ τελειωθῆναι δι᾽ αἵματος· διὸ μιμητὴς τῶν Δεσποτικῶν παθῶν ἀναδειχθείς, ὑπὸ χειρῶν ἀνόμων τὴν κάραν ἀπετμήθης, σκεῦος δ᾽ ὥσπερ ἀπαίσιον ἐν θαλάσσῃ ῥιφείς, λίθος τίμιος ἀπεφάνθης· πρέσβευε ὑπὲρ ἡμῶν, Ἀθλητὰ μακάριε.

Καὶ νῦν... Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου ᾠδὴ γ΄ τοῦ α΄ καὶ ᾠδὴ ς΄ τοῦ β΄.

Ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος δ΄.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

**Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

(Κεφ. ιγ΄ 7-16).

(Ζήτει τῇ 18η Ἰανουαρίου).

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρομεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τοῦτ' ἔστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Λουκᾶν.**

(Κεφ.ιβ΄ 8-12).

(Ζήτει Εὐαγγέλιον Λειτουργίας 6ης Νοεμβρίου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.